§. δ'. Ἔτι δὲ καὶ 1) ἐπὶ τῶν κυρίως ἀριθμητῶν καὶ προσθήκη γίνεται καὶ ἀφαίρεσις τῶν ἀριθμουμένων, ἐπὶ δὲ τῆς ὑπερουσίου καὶ ἀκαταλήπτου Τριάδος πῶς ἂν ὅλως ἐννοηθείη τοῦτο; Καὶ πολλὰ ἄν τις ἐπιθεωρήσειε τοιαῦτα.

Τῷ αὐτῷ. Περὶ τῶν αὐτῶν.

Τὸ ἓν καὶ τὰ τρία ἐπὶ τῆς θεαρχικῆς θεολογούμενα φύσεως, οὐκ ἀριθμός ἐστι κυρίως, οὐδ' ἀρχὴ ἀριθμοῦ, ἀλλὰ τὸ μὲν ἓν σύμβολόν τέ ἐστι τῆς ἀπερινοήτου κρυφιότητος, καὶ αἰνιγματίζει τὸ ἄῤῥητον τῆς ὑπάρξεως· τὴν ἐκφαντορίαν δὲ τὰ τρία διαπλοῖ, καὶ παραγυμνοῖ τοῖς μεριστοῖς τὴν γνῶσιν τῆς ἀμερίστου καὶ ἀκαταλήπτου θεότητος. Ἐκφαίνεται γὰρ ἡ ὑπὲρ νοῦν καὶ πᾶσαν κατάληψιν οὐσία, τῇ τοῦ Πατρὸς ἀναπλουμένη καὶ Υἱοῦ προσηγορίᾳ καὶ Πνεύματος, ὥσπερ ἐπὶ τὸ κρύφιον καὶ ἀκατανόητον συστέλλεται τῷ ἑνί, τῆς ὑπερφυοῦς μηδ' ἐπινοίᾳ στερουμένη κρυφιότητος· καὶ τῶν ὀνομάτων ἀλλήλων διϊσταμένων, ἡ ἄῤῥητος δι' αὐτῶν καὶ ἀσυναίρετος θεολογεῖται τῶν νοουμένων συνάφεια, καὶ τὸ ἀπλήθυντον, οὐκ ἐξιστάμενον τῆς ἑνότητος, πρόεισιν ἀπληνθύντως, τῇ Τριάδι πληθυνόμενον. Καὶ τὸ μὲν τὰ τρία βλαστάνει, τὰ δὲ τῆς τοῦ ἑνὸς ἁπλότητος καὶ συναφείας οὐ διΐσταται. Διὸ καὶ ἀκοινώνητον ὡς ἀληθῶς ὁ Θεός· οὐδὲν γὰρ τοιοῦτον ἐν τοῖς κτίσμασιν. Εἰ δὲ ἓν μόνον ἦν, ἢ τρία, τὸ Θεῖον, μυρίους ἂν συνεπήγετο κοινωνούς, καὶ ἡ κτίσις τὸν κτίστην ἐδείκνυ τοῖς ἑαυτῆς συντατττόμενον ἰδιώμασιν.

Τῷ αὐτῷ.

Εἰ ὁ Θεὸς καὶ ἡ Θεότης ἐν πᾶσι τοῖς οὖσι καὶ διὰ πάντων, τί θαυμαστόν, εἰ καὶ ἐν ἀνθρώποις ὡς ἄνθρωπος; Τὸ μὲν οὖν ἐν πᾶσιν εἶναι, τά τε ἄλλα καὶ τῆς δημιουργίας ὁ λόγος ἐπίσταται· τὸ δὲ ἐν ἀνθρώποις, ἡ διὰ φιλανθρωπίαν τοῦ κτίσματος πρόσληψις, καὶ τῆς γεννήσεως, ἣν αὐτὸς ὑπέστησε, μετοχὴ καὶ κοινωνία, δευτέρας τιμῆς ἀπολαυούσης μετὰ τὴν πρώτην. Ὧν τὴν μὲν ἡ δημιουργὸς χείρ, τὴν δὲ προελθὼν αὐτὸς ἐχαρίσατο. Ὥσπερ οὖν, διότι τὰ ὄντα ἐκ μὴ ὄντων ὑπέστησε, δημιουργὸν αὐτὸν λέγομεν, εἰ καὶ κρείττων πολλῷ δημιουργίας ἡ πρόοδος, οὕτω καὶ διὰ τὸ τοὺς ἀνθρώπους ἐξῃρημένῃ τῶν ἄλλων εὐεργετῆσαι προνοίᾳ, εἰ καὶ κρείττων ἐστὶν ἀνθρωπίνης γεννήσεως ὁ ἐκ Παρθένου τόκος καὶ ἡ ἄφραστος γέννησις, γεννηθῆναί τε 2) λέγομεν τὸν προάναρχον, καὶ ἄνθρωπον χρηματίσαι τὸν πλάστην τῆς φύσεως. Οὐκ ἄνθρωπον δὲ θεοποιοῦμεν, ἄπαγε (ἀδύνατόν τε γὰρ ὡς ἀληθῶς τοῦτο, καὶ λόγου κρίσιν οὐχ ὑφιστάμενον), ἀλλὰ Θεὸν ὁμολογοῦμεν προελθεῖν, ὡς ἄνθρωπον, ὅπερ ῥᾷόν τέ ἐστι Θεῷ, τῷ τὴν φύσιν πλαστουργήσαντι, καὶ πολλὴν φιλανθρωπίας ἀνακηρύττει διάθεσιν 3).

ΡΠΒ.

Πῶς ἐστι δυνατὸν ὅλως ἐννοεῖν τὸ Θεῖον σαρκωθῆναι.

§. α'. Θεοῦ μὲν οὐδὲ θείας ἐλλάμψεως οὐδένα τοσοῦτον κεκενωμένον εἶναι νομίζω, ὃς μὴ πανταχοῦ παρεῖναι τὸ Θεῖον ἀδιαστάτως, μηδὲ τὰ πάντα πληροῦν, ἐμφύτῳ καὶ κοινῇ κατέλαβεν ἀντιλήψει. Εἰ δὲ πᾶσι πάρεστιν ὁ Θεὸς τοῖς οὖσιν, οὐδὲν τῆς ὑπερφυοῦς αὐτοῦ φύσεως ἐκ τῆς περὶ τὰ δημιουργήματα αὐτοῦ παρουσίας συναλλοιουμένης, ἐκείνων ἀλλοιουμένων, οὔτε τοῖς καθ' ὑπόβασιν ἑτέρου πρὸς ἕτερον ἐλαττώμασι συνελαττουμένης, οὐδὲ ταῖς ἐν τοῖς κτίσμασιν ἀναφυομέναις κηλῖσιν ἐνυβριζομένης, ἀλλ' ἐν τῇ ἀφράστῳ καὶ ἀπερινοήτῳ τῆς μακαριότητος ὑπεροχῇ καὶ ἀπαθείας ὑπεριδρυμένος, πάρεστί τε τοῖς οὖσι, καὶ συνέχει ταῦτα καὶ διεξάγει, πῶς ἂν ἀδύνατον εἴη, ἢ τίνα φέρον ὕβριν τῷ ἀνθρωπίνῳ παρεῖναι φυράματι, καὶ τὴν ἀπόῤῥητον αὐτοῦ φιλανθρωπίαν καὶ πρόνοιαν διὰ τῆς σαρκώσεως ἐπιδείξασθαι; μᾶλλον δὲ πῶς οὐ καλόν; πῶς δ' οὐχ ἁρμόδιον;

§. β'. Ἀλλ' ὁ λόγος οὗτος, ἴσως ἄν τις ὑποκρούσειεν, οὐ μόνον ἐνανθρωπῆσαι τὸ θεῖον φρονεῖν ὑποτίθεται, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων κτισμάτων τὴν φύσιν ὑπελθεῖν, καὶ πρὸς οὐσίωσιν ἀναδέξασθαι. Ἀλλά γε τῆς σῆς διανοίας τὸ εὔστροφον, ὦ γενναῖος, ἀποδεχόμενος, οὐκ ἀποδέχομαι τῆς ἄλλης ἐπιβολῆς, ὅτι μὴ θᾶττον ἐπέγνως, μηδὲ προσέσχες βεβαίως 4), τὴν ἐξ ἀρχῆς θέσιν ἐξαρνούμενος· ὁ γὰρ ἀδύνατον διατεινόμενος Θεὸν σαρκοῦσθαι καὶ ἀνθρωπίνην μορφὴν ἀναδέχεσθαι, τοσοῦτον 5) διὰ τῆς δευτέρας ἀπορίας φαίνεται τοῦτο συνομολογῶν, ὡς οὐδὲ τῶν ἄλλων κτισμάτων οὐδενὸς τὴν φύσιν ἀναλαβεῖν αὐτὸν ἀποφαίνεται, καὶ ὁ καθ' ἑνὸς ὁρῶν τὸ ἀδύνατον, κατὰ πάντων ὁμοῦ τὸ δυνατὸν ἐψηφίσατο, ὥστε τὸ δυνατὸν εἶναι Θεὸν σαρκωθῆναι, οὐδὲ παρὰ σοὶ τῶν ἀδυνάτων φιλολογοῦντι εὑρεθήσεται.

1) Ἐν Ε. λείπει ὁ καί. — 2) Ἐν Ε. λείπει ὁ τέ. — 3) Τὸ ἀνωτέρω Ζήτημα παρὰ ΚΜ. εἰς τρία διακρίνεται κατ' ἀριθμοὺς σια, σιβ, σιγ, παρ. Ε. δὲ συνεχίζεται ὡς ἕν, καὶ χωρὶς τῶν ἀνωτέρω «τῷ αὐτῷ περὶ τῶν αὐτῶν» καὶ «τῷ αὐτῷ». — 4) Βιαίως Ε. — 5) Τοιοῦτος Ε.

ΡΠΓ.

Διὰ τί Θεὸς ἐσαρκώθη;

§. α'. Ἐπειδὴ λίαν ὀλίγων ἐστὶ διὰ νοῦ καὶ θεωρίας εἰς φαντασίαν ἀνελθεῖν τοῦ Θείου θεοπρεπῆ (καὶ τοῦτο δῆλον ἐξ ὧν καὶ οἱ δοκοῦντες εἰς ἄκρον τῆς ἐν ἀνθρώποις ἐλάσαι σοφίας πρὸς σφᾶς τε 1) αὐτοὺς καὶ πρὸς ἀλλήλους ἐπὶ μέγιστον διηνέχθησαν), διὰ τοῦτο ἐνηνθρώπησεν ὁ Θεός, ἵνα μὴ μόνον οἱ πλέον τι κατὰ γνῶσιν τῶν ἄλλων ἔχειν δοκοῦντες, ἀλλὰ καὶ ὁ πολὺς ἄνθρωπος, ὁ τῇ αἰσθήσει μᾶλλον ἢ τῷ λογισμῷ χειραγωγούμενος, δι' ὧν ὁρᾷ τε καὶ ἀκούει, πρὸς τὴν εὐσεβῆ τοῦ Θείου καὶ σωτήριον ἔννοιαν ἀνατρέχειν ἔχῃ, διὰ τῶν αἰσθητῶν ἐπὶ τὸ νοητὸν ἀναβαίνων, καὶ ἀπὸ τῶν διὰ μέσης τῆς σαρκὸς θεουργουμένων ἐπὶ τὴν τῆς ὑπερφυοῦς καὶ ἀσωμάτου θεότητος θεωρίαν. Καὶ τοῦτο δῆλον ἐκ τῶν ἐκβεβηκότων· ἐξ οὗ γὰρ Θεὸς ἐνηνθρώπησε, καὶ τὰ παράδοξα καὶ ὑπερφυῆ τῶν ἔργων, τὴν ἡμετέραν φέρων μορφήν, ἐπετέλεσε, τὰς ἀλλοκότους καὶ πολυπλανεῖς φαντασίας ὁ ἄνθρωπος ἀποῤῥίψας, καὶ μακρὰ χαίρειν εἰπὼν τοῖς μακροῖς λήροις καὶ τοῖς εἰδωλικοῖς ἀναπλάσμασι, τὸν ἐν σαρκὶ φανέντα Θεὸν τοῦτον ἀληθινὸν Θεὸν ἀνομολογεῖ τε καὶ προσκυνεῖ, διὰ τῆς ἐν σώματι μὲν παρουσίας αὐτοῦ καὶ τῶν ὑπὲρ λόγον ἔργων ὄψει καὶ ἀκοῇ καταμαθεῖν αὐτὸν ἀξιωθείς, διὰ δὲ τῆς τοιαύτης γνώσεως εἰς τὴν τῆς ἀθεάτου φύσεως ἐπίγνωσίν τε καὶ θεωρίαν ἀναχθείς· ἀλλ' ἓν μὲν τοῦτο.

§. β'. Δεύτερον δέ, ὅτι οὐδαμῶς ὁ ἰσχυρὸς ἐδεσμεῖτο, μὴ δυνατωτέρου τὸν ἀγῶνα τοῦτον καὶ τὸν ἆθλον ὑποδυσαμένου. Τρίτον, ὅτι περ ἡ ὄψει καὶ ἀκοῇ προκειμένη διδασκαλία τῆς πόῤῥωθεν καὶ δι' ἑτέρων μέσων ἀπαγγελλομένης ἐπικρατεστέρα τε πολλῷ καὶ ἀκριβεστέρα. Εἰ βούλει δέ, ὅτι καὶ πολλῷ 2) εὐχερεστέρα καὶ ῥᾳδίως ἐξανύεσθαι δυναμένη ἡ διὰ μιμήσεως τῶν ἀρετῶν πρᾶξις τῆς ἄνευ μιμήσεως 3) ἀπαιτουμένης· μίμησις δ' ἀνθρώποις οὐκ ἂν εἴη τὸν ἀνθρώπινον ἀνυψοῦσα βίον, μηδενὸς ταύτην πράττοντος ἀνθρωπίνως· πρᾶξις δ' ἀνθρωπίνη πῶς ἂν εἴη τῆς ἐνανθρωπήσεως τοῦ Λόγου μὴ γεγενημένης; Φιλανθρώπως ἄρα καὶ [ἐξ] ἀνυπερβλήτου προνοίας ἡ τοῦ Λόγου γέγονεν ἐνανθρώπησις, καὶ ἡ μεθ' ἡμῶν θεοποιὸς ἀναστροφὴ καὶ πολιτεία 4).

ΡΠΔ.

Διὰ τί ὁ Υἱὸς ἐσαρκώθη, καὶ οὐχ ἑτέρα τῆς Τριάδος ὑπόστασις 5);

§. α'. Τί δήποτε ὁ Υἱός, καὶ οὐχ ἑτέρα τῆς ἁγίας Τριάδος ὑπόστασις, τὴν ἡμετέραν ἀναλαβὼν ἐσαρκώθη φύσιν; Τί δήποτε; ἵνα ὁ ἄνω Υἱός, καὶ κάτω μένῃ Υἱός, ἐκ τῶν ἀχράντων καὶ παρθενικῶν σαρκούμενος αἱμάτων, καὶ ἡ ἀναλλοίωτος φύσις μηδεμίαν παραλλαγὴν ἀπὸ τῆς παραλλαττούσης σχέσεως ἢ ἀλλοίωσιν ἐλεγχθῇ δεξαμένη· ἓν μὲν οὖν τοῦτο. β'. Ἕτερον δέ, τὸν δημιουργὸν ἔδει, συντριβὲν τὸ δημιούργημα, οὐκ ἄλλον, ἀλλ' αὐτὸν ἀναπλάσαι· εἰ δ' ἄλλος μὲν ἔπλασεν, ἄλλος δ' ἀναπλάττει, ὃ μὲν ὁ πλάσας εἶχεν, οὐκ ἔχει, ὃ δὲ ὁ ἀναπλάσας χαρίζεται, τοῦτο μὴ ἔχειν τὸν πλάσαντα ἡ τοῦ ἑτέρου χρεία παραδεικνύει. Ἀλλ' οὐδὲν τοιοῦτον ἐν τῇ θεαρχικῇ καὶ παντοκρατορικῇ Τριάδι· δημιουργεῖ ὁ Υἱός, συμπάρεστι καὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα· ἀναπλάττει πάλιν ὁ Υἱός, εὐδοκεῖ καὶ συνεργεῖ τῇ ἀναπλάσει καὶ ὁ Πατὴρ καὶ τὸ Πνεῦμα. Μία τῶν τριῶν ἡ βουλή, τὸ κράτος ἕν, οὐχ ἑτέρα ἡ ἐνέργεια, ἡ βασιλεία μία. γ'. Πάλιν, ἐπεὶ Λόγος ὁ Υἱὸς τοῦ Πατρός, τοὺς εἰς ἀλογίαν καταπεσόντας τὸν Λόγον ἦν ἀνακαλεῖσθαι προσῆκον (λόγῳ γάρ ἡ ἀλογία ῥυθμίζεται, καὶ πρὸς τὸν λόγον τὴν ἀναφορὰν ἡ διόρθωσις τῶν ἐκπεσόντων τῆς χάριτος ἔχει)· ἡ σάρκωσις τοῦ Υἱοῦ δῆλον ὅτι πρὸς μόνην τὴν τῶν ἀνθρώπων ἀφορᾷ σωτηρίαν. Εἰ τοίνυν ὁ Πατὴρ προσέλαβε τὴν ἀνθρωπίνην φύσιν, ἢ τὸ πανάγιον Πνεῦμα, οὐ μόνον οὐδὲν ἂν ἀπώνατο τὸ ἡμέτερον γένος, ἀλλὰ καὶ πρὸς τὸ χαλεπώτερον ἑαυτοὺς παρεῖχον ἀποτεταμένους· εἰ γὰρ ὁ σάρκα περικείμενος καὶ τῷ βίῳ παρὼν ἔλεγεν· «ἐγώ εἰμι ὁ Πατὴρ τοῦ Θεοῦ», ἤ, τῆς ἐν σαρκὶ παχύτητος φαινομένης, ἔλεγεν «ἐγώ εἰμι τὸ Πνεῦμα», πῶς ἂν ὁ Ἰουδαῖος ὅλως ἠνέσχετο καὶ αὐτῆς τῆς φωνῆς ἀκοῇ μόνῃ παραδέξασθαι τὸν ἦχον; Εἰ γὰρ τοῦ Σωτῆρος λέγοντος ἑαυτὸν Υἱὸν εἶναι τοῦ Θεοῦ (ὃ δὴ κἀκείνοις πολλάκις ἐῤῥήθη 6), τοῖς θυμοῖς ἀναφλέγοντες αὐτούς, εἰς φόνον τὴν ὀργὴν ἐξῆγον, καὶ ἐβόων· «περὶ καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλ' ὅτι σὺ ἄνθρωπος ὤν, ποιεῖς

1) Λείπει ὁ τὲ ἐν Ε. — 2) Πολλοῖς Ε. — 3) Λείπει τὸ μιμήσεως ἐν Ε. — 4) Βλ. Δαμασκην. περὶ ὀρθοδόξ. πίστ. σελ. 202. — 5) Βλ. Δαμασκην. αὐτόθ. σελ. 254. — 6) Ἡμετ. διόρθ. ἀντὶ τοῦ κἀκεῖνοι πολλάκ. ἐῤῥήθησαν ΑΡ.